UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Theophilo nauclero. 155.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

πρὸς αὐτὸν καὶ ἀνένδοτοι πρὸς μετάγνωσιν. μὴ τοίνυν, ἀδελφοὶ, καὶ ἐθνῶν φανῶμεν ἀπιστότεροι, καὶ ὃν ἐκεῖνοι ἔφυγον ὄλεθρον ἐπισπώμενοι.

manemus, atque ad resipiscentiam rigidi & inflexiles. Quocirca, Fratres, ne Gentilibus quoque infideliores nos prębeamus, eámque, quam illi effugerunt, perniciem ad nos attrahamus.

Θεοφίλῳ ναυκλήρῳ. ρνε.

Εἰ τῆς ἡμετέρας ὑπάρχεις ἀγέλης, καὶ ὑπὸ τὸν καλὸν τάττῃ ποιμένα, τὴν τῶν θηρίων φύσιν καὶ ὁμοίωσιν ἄρνησαι, καὶ τῇ φωνῇ αὐτοῦ ἀκολούθησον, μὴ ὀμόσαι ὅλως κελεύοντος. τὸ δὲ μὴ ὀμόσαι μηδὲ ἀπαιτῆσαι ὅρκον ἐστίν. εἰ γὰρ μὴ βούλει ὀμόσαι, μηδὲ παρ᾽ ἑτέρων ὅρκον ἀπαίτει, διὰ δύο ταύτας αἰτίας· ἢ τὸ ἐπαληθεύειν τὸν ἐρωτώμενον, ἢ τὸ ἐναντίον τὸ ψεύδεσθαι. εἰ γὰρ ἀληθεύει συνήθως ὁ ἄνθρωπος, καὶ περὶ τοῦ ὅρκου πάντως ἀληθεύει· εἰ δὲ ψεύστης ἐστὶ, καὶ ὀμνύων ψεύδεται, οὐ χρὴ οὖν ὅρκον ἀπαιτεῖν δι᾽ ἀμφότερα.

*Theophilo Nauclero.* 155.

Si nostri gregis es, ac sub bono illo pastore censeris, ferarum naturam ac similitudinem abiura, atque ipsius voci obtempera, qua, ne omninò iures, prohibet. Porrò non iurare, ne iusiurandum quidem ab alio exigere est. Nam si iurare minimè vis, ne ab aliis quidem, vt iurent, extorque. idque duplici de causa: nimirum aut quia veri studiosus est qui interrogatur: aut cõtrà, quia libenter mentitur. Si enim ille vera loqui solet, omninò etiam nullo interposito iureiurãdo vera loquetur: Si autem mendax est, iurans etiam mentietur. Quapropter duplici hoc nomine iusiurandum haudquaquam exigendum est.

*Matt. 5.*

*Cur iusiurandũ ab alio minimè exigẽdũ.*

Εὐσταθίῳ. ρνϛ.

Ἐγὼ μὲν τὴν βίβλον ἣν ἐζήτησας πέπομφα, καὶ καρπὸν ἐξ αὐτῆς διὰ σοῦ περιμένων, ὃς παρὰ πάντων συνήθως εἰσπράττεται. οὐ γάρ ἐστιν οὐκ ἔστι καρδία ἣν ἐπῆλθεν ἡ ταύτης ἀνάγνωσις, καὶ πρὸς τὸν θεῖον αὐτὴν οὐκ ἔτρωσεν ἔρωτα, σεπτὴν μὲν τὴν ἱερωσύνην καὶ δυσπρόσιτον δείξασα, ἀμέμπτως δὲ αὐτὴν μετέρχεσθαι διδάξασα· ὁ γὰρ τῶν τοῦ θεοῦ ἀπορρήτων σοφὸς ὑποφήτης Ἰωάννης, ὁ τῆς ἐν Βυζαντίῳ ἐκκλησίας καὶ πάσης ὀφθαλμὸς, οὕτως αὐτὴν λεπτῶς καὶ πυκνῶς ἐξηκρίβωσεν, ὥστε πάντας τούς τε κατὰ θεὸν ἱερατεύοντας, τούς τε ῥαθύμους ἱερατικὴν μεταχειρίζοντας, ἐν ταύτῃ τὰ οἰκεῖα εὑρίσκειν κατορθώματά τε καὶ σκώμματα.

*Eustathio.* 156.

Ego quidem librum, quem à me petiisti, misi: fructúmque ex eo per te expecto, qui ab omnibus exigi consueuit. Nullum enim, nullum, inquam, pectus huius lectio penetrauit, quod non diuino amore sauciarit: vt qui augustam quidem ac venerandam rem accessúque difficilem sacerdotium esse ostendat, verùm sine vlla reprehensionis labe consectandam esse doceat. Siquidem sapiens ille & eruditus arcanorum Dei interpres Ioannes, Bysantinæ Ecclesiæ, atque adeò ecclesiarum omnium oculus, librum eum ita subtiliter & prudenter atque accuratè condidit, vt omnes tam qui, vt Deo gratum est, Sacerdotio funguntur, quàm qui negligenter & ignauè Sacerdotalem dignitatem administrant, hîc & virtutes suas & offensiones reperiant.

*Libri Chrysost. de Sacer. laus.*

*Ioann. Chrysost. Ecclesiarũ omnium oculus.*

Πανσοφίῳ ἀρχιδιακόνῳ. ρνζ.

Εἰ τῷ χριστοῦ διακονεῖς θυσιαστη-

*Pansophio Archidiacono.* 157.

Si Christi altari ministras, da operam vt